Σημεῖόν ἐστιν, οὗ μέρος οὐδέν. γραμ-
μὴ δέ, ἧς μέρη σημεῖα· ἐπιφά-
νεια δέ, ἧς μέρη γραμμαί. σῶμα
δέ, οὗ μέρη ἐπιφάνειαι· ἢ πάλιν·
σημεῖόν ἐστι, στιγμὴ ἄρρυτος. γραμ-
μὴ δέ, στιγμὴ ῥυεῖσα· ἐπιφάνεια
δέ, ῥυεῖσα γραμμή. σῶμα δέ, ἐ-
πιφάνεια ῥυεῖσα. ἢ πάλιν· ση-
μεῖόν ἐστι, τὸ μηδ' ὅλως διαστατόν.
γραμμὴ δέ, τὸ μίαν ἔχον διάστα-
σιν· ἐπιφάνεια δέ, τὸ διαστατὸν
διχῇ· σῶμα δέ, τὸ τριχῇ δια-
στατόν· ὡς ἕκαστον αὐτῶν· ἀπὸ μὲν
σημείου συντίθενται, καὶ διαστάσ-
ει ὑπερβάλλειν, τὸ πρὸ αὐτοῦ· ἀπὸ
δὲ σώματος ἀναλύονται, καὶ διαστά-
σει τοῦ μετ' αὐτὸ λείπεσθαι. τῶν
γραμμῶν· ἡ μέν ἐστιν εὐθεῖα·
ἡ δὲ καμπύλη. εὐθεῖα γραμμή ἐ-
στιν, ἥτις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς
σημείοις κεῖται. καμπύλη δέ,

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_262/0171